δοχήν, ἣν εἶπεν Εσθηρ. [6]ἐν δὲ τῷ πότῳ εἶπεν ὁ βασιλεὺς πρὸς 6
Εσθηρ Τί ἐστιν, βασίλισσα Εσθηρ; καὶ ἔσται σοι ὅσα ἀξιοῖς. [7]καὶ 7
εἶπεν Τὸ αἴτημά μου καὶ τὸ ἀξίωμά μου· [8]εἰ εὗρον χάριν ἐνώ- 8
πιον τοῦ βασιλέως, ἐλθάτω ὁ βασιλεὺς καὶ Αμαν ἐπὶ τὴν αὔριον
εἰς τὴν δοχήν, ἣν ποιήσω αὐτοῖς, καὶ αὔριον ποιήσω τὰ αὐτά.
[9]Καὶ ἐξῆλθεν ὁ Αμαν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς εὐφραινόμε- 9
νος· ἐν δὲ τῷ ἰδεῖν Αμαν Μαρδοχαῖον τὸν Ιουδαῖον ἐν τῇ αὐλῇ
ἐθυμώθη σφόδρα. [10]καὶ εἰσελθὼν εἰς τὰ ἴδια ἐκάλεσεν τοὺς φίλους 10
καὶ Ζωσαραν τὴν γυναῖκα αὐτοῦ [11]καὶ ὑπέδειξεν αὐτοῖς τὸν πλοῦ- 11
τον αὐτοῦ καὶ τὴν δόξαν, ἣν ὁ βασιλεὺς αὐτῷ περιέθηκεν, καὶ ὡς
ἐποίησεν αὐτὸν πρωτεύειν καὶ ἡγεῖσθαι τῆς βασιλείας. [12]καὶ εἶπεν 12
Αμαν Οὐ κέκληκεν ἡ βασίλισσα μετὰ τοῦ βασιλέως οὐδένα εἰς τὴν
δοχὴν ἀλλ᾽ ἢ ἐμέ, καὶ εἰς τὴν αὔριον κέκλημαι· [13]καὶ ταῦτά μοι 13
οὐκ ἀρέσκει, ὅταν ἴδω Μαρδοχαῖον τὸν Ιουδαῖον ἐν τῇ αὐλῇ. [14]καὶ 14
εἶπεν πρὸς αὐτὸν Ζωσαρα ἡ γυνὴ αὐτοῦ καὶ οἱ φίλοι Κοπήτω σοι
ξύλον πηχῶν πεντήκοντα, ὄρθρου δὲ εἰπὸν τῷ βασιλεῖ καὶ κρεμα-
σθήτω Μαρδοχαῖος ἐπὶ τοῦ ξύλου· σὺ δὲ εἴσελθε εἰς τὴν δοχὴν
σὺν τῷ βασιλεῖ καὶ εὐφραίνου. καὶ ἤρεσεν τὸ ῥῆμα τῷ Αμαν, καὶ
ἡτοιμάσθη τὸ ξύλον.
[1]Ὁ δὲ κύριος ἀπέστησεν τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως τὴν νύκτα 6
ἐκείνην, καὶ εἶπεν τῷ διδασκάλῳ αὐτοῦ εἰσφέρειν γράμματα μνη-

6 init. — εσθηρ $1^{0}$] και ειπεν ο βασιλευς προς εσθηρ εν τω ποτω του οινου A(om. του οιν.) 58 93†; in textu uulgari add. S$^{c}$† του οινου post ποτω | βασιλισσα εσθηρ] εσθ. η βασ. A 58 93†; + τι το αιτημα σου και δοθησεται σοι και τι το αξιωμα σου εως του ημισους της βασιλειας uel sim. *O*† | σοι > BS† || 7 ειπεν] + εσθηρ A 93 | μου ult. > B† || 8 ενωπιον] εναντιον AV 93† | βασιλεως] + και (+ ο S$^{c}$) επι τον βασιλεα αγαθον δουναι το αιτημα μου και ποιησαι το αξιωμα μου *O*† (δουναι post μου $1^{0}$ tr. 58) | επι την αυρ.] ετι τ. α. BS*, > 58 93†, επι την > S$^{c}$† | αυριον $1^{0}$ ⌒ $2^{0}$ S† | αυριον ult.] + γαρ SA || 9 ο > A | απο του βασ.] εν τη ημερα εκεινη 58 93†, pr. εν τη ημ. εκ. S$^{c}$† | ευφραιν.] + τη καρδια *O*† | αμαν ult. > A† | μαρδοχ.] pr. τον *O*† | αυλη] + του βασιλεως και ουκ εξανεστη ουδε ετρομησεν απ αυτου uel sim. *O*† | εθυμωθη] + αμαν επι μαρδοχαιον *O*†, + αμαν A† || 10 init.] pr. και ενεκρατευσατο αμαν *O*† | εισελθων ... εκαλεσεν] εισηλθεν ... και εκαλ. A†, εισηλθεν ... και αποστειλας (+ αμαν 93) εκαλεσεν 58 93†, εισελθων ... αποστειλας εκαλ. S$^{c}$† | σωσαραν A†: cf. 14 6 13 || 11 αυτοις] + αμαν $O^{-93}$† | τον — ην] την δοξαν του πλουτου αυτου και το πληθος των υιων αυτου και παντα οσα uel sim. 58 93†; post τον πλουτον αυτου add. S$^{c}$† και το πληθος των υιων αυτου | ο βασ. αυτω περιεθ.] περ. αυ. ο βασ. 58 93†, ο βασ. περ. αυ. A† | πρωτευειν και] πρωτον A 58 93† || 12 ειπεν αμαν ου κεκλ. > A† | η βασ.] pr. εσθηρ A*O*† | δοχην] + ην εποιησεν $O^{-93}$† | κεκλημαι] pr. εγω $O^{-93}$†, εμε κεκληκε 93†, κεκληκεν (sic) A†; + μετα του βασιλεως *O*† || 13 οταν] pr. εν παντι (+ τω 93) χρονω *O*† | ιουδαιον] + καθημενον *O*† | fin.] + εν τη αυλη του βασιλεως *O*† || 14 σωσαρα A†: cf. 10 | οι φιλοι] pr. παντες et add. αυτου *O*† | σοι > A | ξυλον $1^{0}$] + υψηλον *O*†

6 1 γραμμ. μνημοσ.] τα γρ. μν. λογων *O*†